492/1 = Ol. 72, 1. ἄ. Διόγνητος. Dion. Hal. VI 49.

491/0 = Ol. 72, 2. ἄ. Ὑβριλίδης. Dion. VII 1; Paus. VI 9, 5.

490/89 = Ol. 72, 3. ἄ. Φαίνιππος Arist.; [Φαι]ν[ι]π[πίδ]ης ὁ δεύτερος. MP ep. 48.

Marathon. Arist. Ἀθ. π. 22, 3. μηνὸς Βοηδρομιῶνος ἕκτῃ Plut. Camill. 19. Decretum. Plut. quaest. conv. I 10, 3 ὅτι καὶ τὸ ψήφισμα, καθ᾽ ὃ τοὺς Ἀθηναίους ἐξήγαγε, τῆς Αἰαντίδος φυλῆς πρυτανευούσης γραφείη. Arist. rhet. III 10 p. 1411 a_{10} τὸ Μιλτιάδου ψήφισμα, cf. Demosth. XIX 303. E. Meyer III § 193 A. Callimachus (polemarchus) Aeantidis (IX) erat. — Praetores: Aristides X, Stesileos Hdt. VI 114. Aeschylus poeta annorum XXXV M. P. Hermae (?) n. 763.

Monumenta Delphica [1]) Paus. X 10, 1. Pomtow *Klio* VIII 1908, 73. 84 sqq. et Syll.[3] 23 τῷ βάθρῳ δὲ τῷ ὑπὸ τὸν ἵππον τὸν δούρειον δὴ ἐπίγραμμα μέν ἐστιν ἀπὸ δεκάτης τοῦ Μαραθωνίου ἔργου τεθῆναι τὰς εἰκόνας. Statuae: Ἀθηνᾶ, Ἀπόλλων, Μιλτιάδης, Ἐρεχθεύς, Κέκροψ, Πανδίων, Λεώς, Ἀντίοχος, Αἰγεύς, Ἀκάμας [tribus reliquis eponymis Oeneo Hippothoonti Aiaci postea substituti sunt Antigonus Demetrius Ptolemaeus! Pomtow p. 87] — Κόδρος, Θησεύς, Φυλεύς (corr. Φίλαιος, i. e. Miltiadis avus). τοὺς μὲν δὴ κατειλεγμένους Φειδίας ἐποίησε, καὶ ἀληθεῖ λόγῳ δεκάτη καὶ οὗτοι τῆς μάχης εἰσίν. Nomina haec omnia in lapidibus incisa fuisse probabile est; de tempore minime constat. Cf. Robert *Pausanias als Schriftsteller* 305.

[1]) Thesaurus Paus. X 11, 5 e lapide Pario aedificatus. Dedicatio per decem lapides continuata: Replat *Bull. Hell.* XLVI 1922, 510. Ἀθεναῖ|οι τ|[ο̃]ι Ἀπ|όλλον|[ι ἀπὸ (?) Μέδ]|ον ἀκ|[ροθ]|ίνια τ|ε̃ς Μαραθ[ο̃]|νι μ|[άχες].

Monumentum eorum ὅσοι Μαραθῶνι ἠγωνίσαντο· τούτοις γὰρ κατὰ χώραν (non in Ceramico) εἰσὶν οἱ τάφοι δι᾽ ἀνδραγαθίαν (Paus. I 29, 4). Immo prope Marathonem (Paus. I 32, 3) τάφος δὲ ἐν τῷ πεδίῳ Ἀθηναίων ἐστίν, ἐπὶ δὲ αὐτῷ στῆλαι τὰ ὀνόματα τῶν ἀποθανόντων κατὰ φυλὰς ἑκάστων ἔχουσαι. Adde epigramma ap. Lycurgum Leocr. 109 (Simonidis fr. 90 Bergk; Preger IG metr. 199):

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

2 ἔκτειναν Μήδων ἐννέα μυριάδας Aristid. XLVI 156; εἴκοσι μυριάδας schol. et Suid.; ἔκλιναν Bergk.

Donarium Pani oblatum, cuius ἐπιφάνειαν ante pugnam Marathoniam narrat Herodotus VI 105 (- - ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρὸν - - coll. Luc. bis accus. 9 τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος οἰκεῖ (Πὰν) μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ ἐς τὸ μετοίκιον ξυντελῶν) exhibet epigramma Simonidi tributum (Anth. Plan. 233 = 133 Bergk), si qua ei fides:

τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ᾽ Ἀθηναίων στήσατο Μιλτιάδης.

[Ἄγαλμα Ἀθηνᾶς χαλκοῦν, quod in memoriam pugnae Marathoniae dedicasse Athenienses seri demum auctores (Paus. I 28, 2. IX 4, 1; Aristid. XLVI 288 *d*) tradiderunt (cf. Jahn-Michaelis Arx[3] 76), a Phidia inchoatum, Parrhasii et Myis curis confectum, Propylaeorum demum tempori (a. 437/2) tribuit C. Robert per epist. Cf. Judeich *Top.* 71[4].]

489/8 = Ol. 72, 4. ἄ. Ἀριστείδης. Plut. Arist. 5. MP ep. 49.

Miltiadis expeditio Paria postquam male cessit, ipse damnatur. Plat. Gorg. 516 *e* Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο, καὶ εἰ μὴ διὰ τὸν πρύτανιν, ἐνέπεσεν ἄν. E. Meyer III 197 *A*. 490/89 vere Beloch II 2[2] 382.

c. 490—480? Epigramma falso Simonidi attributum Anth. Pal. XIII 28 (Bergk P. Lyr.[4] fr. 148) victoriam dithyrambicam celebrat, quo Ἱππόνικος Στρούθωνος (PA 7661) ἐχορήγησεν, Ἀντιγένης ἐδίδασκεν, Ἀρίστων ηὔλει Ἀργεῖος. v. Wilamowitz *Herm.* XX 1885, 62 sqq.

488/7 = Ol. 73, 1. ἄ. Ἀγχίσης. Dion. Hal. VIII 1.

ὀστρακισμός· Ἵππαρχος Χάρμου Κολλυτεύς, δι᾽ ὃν καὶ μάλιστα τὸν νόμον ἔθηκεν ὁ Κλεισθένης, ἐξελάσαι βουλόμενος αὐτόν (ἡγεμὼν καὶ προστάτης amicorum tyranni). Ar. Ἀθ. π. 22, 4.

Decretum: tabula proditorum. Lycurg. in Leocr. 117 Ἵππαρχον γὰρ τὸν Τιμάρχου (Χάρμου Wil.) [1]) οὐχ ὑπομείναντα τὴν περὶ τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ᾽ ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται, καὶ οἱ

ἄλλοι δὲ προδόται. 118 καί μοι λαβὲ πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην.

[1]) *Ar.* I 114[27] cf. Busolt II[2] 440; Kirchner PA 7600. ἄρχων 496/5.

c. 488/7 sqq. Bellum Aegineticum. Beloch II 2[2] 57.

Sepulcrum publicum in Ceramico Paus. I 29, 7 καὶ Ἀθηναίων δ' ἔστι τάφος, οἳ πρὶν ἢ στρατεῦσαι τὸν Μῆδον ἐπολέμησαν πρὸς Αἰγινήτας. Ad idem bellum Hitzig refert quae sequuntur: ἦν δὲ ἄρα καὶ δήμου δίκαιον βούλευμα, εἰ δὴ καὶ Ἀθηναῖοι μετέδοσαν δούλοις δημοσίᾳ ταφῆναι καὶ τὰ ὀνόματα ἐγγραφῆναι στήλῃ· δηλοῖ δὲ ἀγαθοὺς σφᾶς ἐν τῷ πολέμῳ γενέσθαι περὶ τοὺς δεσπότας. Multo recentius esse putat v. Domaszewski *SB Ak. Heidelb.* 1917, 7. Abh., 12.

487/6 = Ol. 73, 2. ἄ. Τελεσῖνος. Ἀθ. π. 22, 5.

ἐκυάμευσαν τοὺς ἐννέα ἄρχοντας κατὰ φυλὰς ἐκ τῶν προκριθέντων ὑπὸ τῶν δημοτῶν πεντακοσίων τότε μετὰ τὴν τυραννίδα πρῶτον ... ὠστρακίσθη Μεγακλῆς Ἱπποκράτους Ἀλωπεκῆθεν. Testae n. 908.

486/5 = Ol. 73, 3.

485/4 = Ol. 73, 4. ἄ. Φιλοκράτης. MP ep. 50 (485/4 aut 486/5 Jac.). (222 + 263 Ki.).

MP. Αἰσχύλος τραγωιδίαι πρῶτον ἐνίκησε.

Ξάνθιππος ὁ Ἀρρίφρονος ostracismo expellitur tertio anno ante Nicodemum (= 483/2). Ἀθ. π. 22, 6. Testae n. 909.

Leges sacrae de Hecatompedo n. 3. 4.

484/3 = Ol. 74, 1. ἄ. Λεώστρατος. Dion. Hal. VIII 77.

483/2 = Ol. 74, 2. ἄ. Νικομήδης. Dion. Hal. VIII 83 [= a. u. c. 270]: Νικοδήμου.

Themistoclis lex nautica Ar. Ἀθ. π. 22, 7 ὡς ἐφάνη τὰ μέταλλα τὰ ἐν Μαρωνείᾳ καὶ περιεγένετο τῇ πόλει τάλαντα ἑκατὸν ἐκ τῶν ἔργων, συμβουλευόντων τινῶν τῷ δήμῳ διανείμασθαι τὸ ἀργύριον Θεμιστοκλῆς ἐκώλυσεν, οὐ λέγων ὅ,τι χρήσεται τοῖς χρήμασιν, ἀλλὰ δανεῖσαι κελεύων τοῖς πλουσιωτάτοις Ἀθηναίων ἑκατὸν ἑκάστῳ τάλαντον, εἶτ' ἐὰν μὲν ἀρέσκῃ τὸ ἀνάλωμα, τῆς πόλεως εἶναι τὴν δαπάνην, εἰ δὲ μή, κομίσασθαι τὰ χρήματα παρὰ τῶν δανεισαμένων. λαβὼν δ' ἐπὶ τούτοις ἐναυπηγήσατο τριήρεις ἑκατόν.

Themistoclis consilio Piraeus munitur (cf. 493/2).

Aristides Lysimachi f. ὠστρακίσθη Arist. Ἀθ. π. 22, 7.

482/1 = Ol. 74, 3.

481/0 = Ol. 74, 4. ἄ. Ὑψιχίδης. Arist. Ἀθ. π. 22, 8 τετάρτῳ ἔτει (post Nicomedem; ubi τρίτῳ Kaib. Wil. coll. Plut. Arist. 8) κατεδέξαντο πάντας τοὺς ὠστρακισμένους διὰ τὴν Ξέρξου στρατείαν, καὶ τὸ λοιπὸν ὥρισαν τοῖς ὀστρακιζομένοις ἐντὸς Γεραιστοῦ καὶ Σκυλλαίου κατοικεῖν ἢ ἀτίμους εἶναι καθάπαξ.

481/0 Graecorum foedus Hdt. VII 145 ἐδόκεε βουλευομένοισι αὐτοῖσι (Ἕλλησι) πρῶτον μὲν χρημάτων πάντων καταλλάσσεσθαι τάς τε ἔχθρας καὶ τοὺς κατ' ἀλλήλους ἐόντας πολέμους· ἦσαν δὲ πρός τινας καὶ ἄλλους ἐγκεκρημένοι, ὁ δὲ ὦν μέγιστος Ἀθηναίοισί τε καὶ Αἰγινήτῃσι. v. Scala *Staatsvertr.* 46.

480/79 = Ol. 75, 1. Καλλιάδης.

MP 51 Ξέρξης τὴν σχεδίαν ἔζευξεν ἐν Ἑλλησπόντωι καὶ τὸν Ἄθω διώρυξε, καὶ ἡ ἐν Θερμοπύλαις μάχη ἐγένετο, καὶ ναυμαχία τοῖς Ἕλλησι περὶ Σαλαμῖνα πρὸς τοὺς Πέρσας ... ἔτη ΗΗΔΠΙΙ, ἄ. Ἀθ. Κ. Cf. Diod. XI 1—26.

Themistoclis rogatio. Plut. Them. 10 (Θεμιστοκλῆς) ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνῶν μεδεούσῃ [1]), τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σῴζειν ἕκαστον ὡς ἂν δύνηται. κυρωθέντος δὲ τοῦ ψηφίσματος οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γενεὰς καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων· καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν ἐξεῖναι τοὺς παῖδας πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. τὸ δὲ ψήφισμα τοῦτο Νικαγόρας ἔγραψεν.

[1]) Cf. v. Duhn *Ath. Mitt.* XLVI 1921, 1.

Aliud Themistoclis decretum. Plut. Them. 6, 3 ἐπαινεῖται δ' αὐτοῦ (Θεμιστοκλέους) καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν, ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν, ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι. Quae de Arthmio tradit Plutarchus, Cimoni potius danda sunt; cf. p. 280_{77}.

a. 480 ante pugnam Salaminiam. Atheniensium lex de amnestia Andoc. I 107: ἔγνωσαν τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι; cf. Stahl *Rh. Mus.* 1891, 253.

Athenae a Persis captae. Herodotus VIII 51 narrat arcem a Persis obsessam. ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ (i. e. totum fanum, non templum) ἐόντας, ταμίας τε τοῦ ἱροῦ καὶ πένητας ἀνθρώπους - - 52 - - οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήιον πάγον, ἐπολιόρκεον - - Portae munitae erant. 51 φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι - - 52 προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας. Denique 53 ὄπισθε τῶν πυλέων καὶ τῆς ἀνόδου - - ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου - - οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον - - Persae τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν. 54 Secundo die exules Atheniensium in arcem venerunt sacra facturi. 55 ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός [1]), ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι - -

[1]) Hoc Erechthei templum a megaro distinguendum est. Megarum ad templum a Pisistratidis auctum, a Doerpfeldio effossum referas.

480 Pugnae ad Artemisium navalis monumentum (Plut. Them. 8) ibi in Dianae Proseoae fano dedicatum (Simon. fr. 135 B.[4], Preger Epigr. 103):

παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

Epigramma Atheniensium qui pugna incerta occubuerint in Ceramico sepultorum, non Lacedaemoniorum ad

Thermopylas mortuorum (quibus tribuit lemma Anth. Pal. VII 253 = Simonidis fr. 100 B.[4]) esse censuit Preger IG metr. 8, quia imitatus est poeta Atticus c. a. 250 a. Chr. (IG II 2724):

εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περιθεῖναι
κείμεθ' ἀγηράτῳ χρώμενοι εὐλογίᾳ.

Corinthiorum monumentum qui ad Salaminem occiderunt n. 927.

Donarium ex pugna Salaminia Plut. Them. 15 πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης ἀνὴρ Ἀθηναῖος τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι Δαφνηφόρῳ Φλυῆσιν.

De arce a Persis vastata, a societate graeca archaeologica effossa Kirchhoffii verba repetimus (IG I s. p. 86): 'Moles illa ruderum et in regione, quae est inter Parthenona et musei novicii in arce aedes, congesta ad planam templi aream efficiendam et amplificandam et altera illa prope arcis murum septentrionalem Propylaea inter et Erechtheum nec non ab Erechtheo orientem versus accumulata, dum pervestigantur, in earum stratis inferioribus repertae sunt inter varii generis monumenta bases plurimae operum votivorum, quorum titulorum exempla Lollingii assiduitate exscripta ut infra possent ex ordine disposita edi fere omnium, insigni effectum est Kabbadiae, ephori generalis antiquitatum, liberalitate, qui in nostrae collectionis usum monumenta ea sive exscribendi sive ubi opus esse visum est charta madida exprimendi veniam concessit. Quae quidem monumenta omnia Persicae invasionis annis esse vetustiora et ad tempora sexti a. Chr. saeculi referenda sponte adparet'. Haec maxime ad titulos IG I s. p. 86—103, n. 373^{77}—373^{227} spectant, sed etiam ad paginarum 126/8 et 179—183 et 197—205 addenda et corrigenda (vide infra numerorum conspectum sub n. 373). De paucorum monumentorum quae ibi inventa esse traduntur antiquitate dubitari posse, in opere tam longo tamque difficili nemo aequus mirabitur.

479/8 = Ol. 75, 2. ἄ. Ξάνθιππος.

479 Boëdromione. Plataeae, Aristides praetor. Mycale, Xanthippus praetor.

479/8 hieme. Athenienses urbis moenia condunt. Thuc. I 90—93 (Diod. XI 39. 40 sub a. 478). Quod Thuc. 93, 2 tradit καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο - - πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν, stelarum muris Themistocleis ante Dipylon insertarum exemplis n. 971. 984. 1002 comprobatur.

479/8 hieme. Sestum οἱ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως diu obsessam capiunt. Thuc. I 89.

Tripus aureus Delphis dedicatus Herod. IX 81; Thuc. I 132; Paus. X 13, 9; Roehl Imag.[3] 101, 16; Syll.[3] 31; litteratura Laconica. Incipit: το[ίδε τὸν] | πόλεμον [ἐ]πολ[έ]μεον· | Λακεδα[ιμόνιοι] | Ἀθαναῖο[ι] | Κορίνθιοι | - -

Iovis Olympii statua Hdt. IX 81; Paus. V 23.

Inde ab hoc anno vel paullo postea, antequam murus Cimonius aedificaretur, in summa arce magnum templum incohatum est; sed ubi ad imos columnarum spondylos perventum est, cessavit opus. Jahn-Michaelis Arx.[3] 9, 61. Prius templum ante Persarum incendium haud multo provectum erat; incendii vestigia apparuerunt. Horum in locum inde ab a. 447/6 successit Parthenon.

478/7 = Ol. 75, 3. ἄ. Τιμοσθένης.

478 aestate Byzantium captum. Busolt III 65².

478/7 Foedus Atticum. Arist. Ἀθ. πολ. 23, 4. Ἀριστείδης Λυσιμάχου - - τοὺς φόρους οὗτος ἦν ὁ τάξας ταῖς πόλεσιν τοὺς πρώτους ἔτει τρίτῳ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐπὶ Τ. ἄ. καὶ τοὺς ὅρκους ὤμοσεν τοῖς Ἴωσιν ὥστε τὸν αὐτὸν ἐχθρὸν εἶναι καὶ φίλον, ἐφ' οἷς καὶ τοὺς μύδρους ἐν τῷ πελάγει καθεῖσαν. Cf. p. 81 ad n. 191. Thuc. I 96 καὶ ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον -- ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα, ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο (cf. n. 6_{11} *not.*).

477/6 = Ol. 75, 4. ἄ. Ἀδείμαντος.

Harmodii et Aristogitonis statuae positae. MP 54. Κριτίου τέχνη Paus. I 8, 5, cuius sculptoris socius saepe nominatur Nesiotes. n. 530/3. Simonidis quod fertur epigramma (Hephaestion 29; Preger IG metr. 152; Bergk PL[4] 131) neque ad has neque ad priores Antenoris statuas refert v. Wilamowitz *Sappho u. Sim.* 211.

Themistocles Piraeum munivit. Diod. XI 41—43. Cf. Thuc. I 93, 3. 7. Ad hoc, non ad Cononis opus (Fricken-

---

THVCYDIDIS (I 96—112) de rebus ab anno 477/6 ad annum 451/0 gestis memoria.

Thuc. I 96, 1. παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν . . . ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς [1]) . . . 97, 2. ἔγραψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου [c. 96—117, a. 439] ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν ἢ αὐτὰ τὰ Μηδικά· τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος [*F. Gr. Hist.* I 4 *F.* 49], βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη.

[1]) v. s. a. 478/7.

98, 1. πρῶτον μὲν Ἠϊόνα . . . εἷλον . . .
v. 476/5 ἄ. Φαίδωνος. Diod. XI 60: 470.

98, 2. ἔπειτα Σκῦρον . . .
v. s. a. 476/5. Diod. l. l.: 470.

98, 3. πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο, καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν.
474—471 Wil., 475/4 Beloch. Miles Καρυστόνικος a. 439 occisus n. 943_{27} ab hac patris victoria nomen habuit.

haus *Athens Mauerbau im IV. Jahrh.* 6) epigramma pertinet Preger 73 ap. Harp. πρὸϲ τῇ πυλίδι Ἑρμᾶϲ:

\- - - - - - - - - - - - - -

ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ᾽ ἀνέθηκαν
βουλᾶϲ καὶ δήμου δόγμαϲι πειθόμενοι.

476 Dionysiis. Monumentum choregicum. Max. Planudes ap. Walz. rhet. V 543; Preger IG metr. 136. Cf. v. Wilamowitz *Simonides* 137/8.

ἦρχεν Ἀδείμαντοϲ μὲν Ἀθηναίοιϲ ὅτ᾽ ἐνίκα
Ἀντιοχὶϲ φυλὴ δαιδάλεον τρίποδα·
Ξεινοφίλου δὲ τόθ᾽ υἱὸϲ Ἀριϲτείδηϲ ἐχορήγει
πεντήκοντ᾽ ἀνδρῶν καλὰ μαθόντι χορῶι·
ἀμφὶ διδαϲκαλίηι δὲ Ϲιμωνίδηι ἕϲπετο κῦδοϲ
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεοϲ.

Plut. Them. 5, 5 (Θεμιϲτοκλῆϲ) πίνακα τῆϲ νίκηϲ ἀνέθηκε τοιαύτην ἐπιγραφὴν ἔχοντα· ‘Θεμιϲτοκλῆϲ Φρεάρριοϲ ἐχορήγει, Φρύνιχοϲ ἐδίδαϲκεν, Ἀδείμαντοϲ ἦρχεν’. Dramati nomen Φοίνιϲϲαι fuisse suspicatur Nauck Tr. Fr.[2] 722. PA 15008.

476/5 = Ol. 76, 1. ἄ. Φαίδων.

475 Eion. Scyrus. Ἐννέα ὁδοί. Thuc. I 98 πρῶτον μὲν (cf. c. 96 παραλαβόντεϲ δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν) Ἠϊόνα τὴν ἐπὶ Ϲτρυμόνι Μήδων ἐχόντων πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδιϲαν Κίμωνοϲ τοῦ Μιλτιάδου ϲτρατηγοῦντοϲ· ἔπειτα Ϲκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆϲον, ἣν ᾤκουν Δόλοπεϲ, ἠνδραπόδιϲαν, καὶ ᾤκιϲαν αὐτοί.

Schol. Aeschin. II 31. ἀτυχήματα ... περὶ τὰϲ Ἐννέα ὁδούϲ· τὸ πρῶτον μὲν Λυϲιϲτράτου καὶ Λυκούργου καὶ Κρατίνου ϲτρατευόντων ἐπ᾽ Ἠϊόνα τὴν ἐπὶ Ϲτρυμόνι διεφθάρηϲαν ὑπὸ Θρᾳκῶν, εἰληφότεϲ Ἠϊόνα, ἐπὶ ἄ. Ἀθήνηϲι Φ.

Scyrus. Plut. Thes. 36 μετὰ δὲ τὰ Μηδικὰ Φ. ἄρχοντοϲ μαντευομένοιϲ τοῖϲ Ἀθηναίοιϲ ἀνεῖλεν ἡ Πυθία τὰ Θηϲέωϲ ἀναλαβεῖν ὀϲτᾶ -- Thesei cultus. καὶ κεῖται μὲν ἐν μέϲῃ τῇ πόλει παρὰ τὸ νῦν γυμνάϲιον -- θυϲίαν δὲ ποιοῦϲιν αὐτῷ τὴν μεγίϲτην ὀγδόῃ Πυανοψιῶνοϲ[1]) ἐν ᾗ μετὰ τῶν ἠϊθέων ἐκ Κρήτηϲ ἐπανῆλθεν (cf. Bacchylidis Ἠίθεοι XVI).

Hermae. Aeschines III 183. Cf. Preger IG metr. 153; v. Domaszewski *SB. Ak. Heidelberg* 1914, *10. Abh.*, 12; L. Weber *Philol.* LIV 257 ἦϲάν τινεϲ κατὰ τοὺϲ τότε καιρούϲ, οἳ πολὺν πόνον ὑπομείναντεϲ καὶ μεγάλουϲ κινδύνουϲ ἐπὶ τῷ Ϲτρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδουϲ· οὗτοι δεῦρ᾽ ἀφικόμενοι τὸν δῆμον ᾔτηϲαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖϲ ὁ δῆμοϲ τιμὰϲ μεγάλαϲ, ὡϲ τότ᾽ ἐδόκει, τρεῖϲ λιθίνουϲ Ἑρμᾶϲ ϲτῆϲαι ἐν τῇ ϲτοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ᾽ ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν -- (184) -- ἐπιγέγραπται γὰρ ἐπὶ τῷ μὲν πρώτῳ τῶν Ἑρμῶν·

ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παιϲὶν ἐπ᾽ Ἠϊόνι, Ϲτρυμόνοϲ ἀμφὶ ῥοάϲ,
λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπάγοντεϲ Ἄρηα
πρῶτοι δυϲμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ·

ἡγεμόνεϲϲι δὲ μιϲθὸν Ἀθηναῖοι τάδ᾽ ἔδωκαν
ἀντ᾽ εὐεργεϲίηϲ καὶ μεγάληϲ ἀρετῆϲ.
μᾶλλόν τιϲ τάδ᾽ ἰδὼν καὶ ἐπεϲϲομένων ἐθελήϲει
ἀμφὶ ξυνοῖϲι(ν) πράγμαϲι μόχθον ἔχειν·

(185) ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ·

ἔκ ποτε τῆϲδε πόληοϲ ἅμ᾽ Ἀτρείδῃϲι Μενεϲθεὺϲ
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἂμ πεδίον,
ὅν ποθ᾽ Ὅμηροϲ ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
κοϲμητῆρα μάχηϲ ἔξοχον ἄνδρα μολεῖν.
οὕτωϲ οὐδὲν ἀεικὲϲ Ἀθηναίοιϲι καλεῖϲθαι
κοϲμητὰϲ πολέμου τ᾽ ἀμφὶ καὶ ἠνορέηϲ.

Plut. Cim. 7 I 3 κρυερόν. II 2 μεγάλων ἀγαθῶν. II 4 ἀμφὶ περὶ ξυνοῖϲ et δῆριν. III 1 πόλεωϲ. 2 ἐϲ πεδίον. 3 θωρηκτάων cum parte Aeschinis codicum. 4 ἔξοχον ὄντα. 6 κοϲμηταῖϲ, pleraque certo meliora.

[1]) i. e. ab initio anni 475/4.

475/4 = Ol. 76, 2. ἄ. Δρομοκλείδηϲ.

475 Pyanopsione: ὀγδόῃ Thesea (prima) v. 476/5.

474/3 = Ol. 76, 3. ἄ. Ἀκεϲτορίδηϲ.

473/2 = Ol. 76, 4. ἄ. Μένων.

*472 aestate? Cimon Pausaniam Byzantio expellit. Beloch II 2² 188. Plut. Cim. 6 (476 aestate Busolt III 96. 89³). Huc referri potest epigramma Aristid. XLIX p. 511 D., Simon. fr. 104; Preger IG metr. 7.

\- - - - -

ἀμφί τε Βυζάντειον ὅϲοι θάνον, ἰχθυόεϲϲαν
ῥυόμενοι χώραν ἄνδρεϲ ἀρηΐθοοι.

Cf. inscriptionem pictam ἐν Βυζαν[τίοι] Wolters *SB Ak. München* 1913, 5. *Abh.*, 10. 13.

472 Dionysiis Aeschylus vicit ἐπὶ Μ. Φινεῖ, Πέρϲαιϲ, Γλαύκῳ Ποτνιεῖ, Προμηθεῖ. Syll.³ 1078 I κωμῳδῶν Ξενοκλείδηϲ ἐχορήγει, Μάγνηϲ ἐδίδαϲκεν. τραγῳδῶν· Περικλῆϲ Χολαρ(γεὺϲ) ἐχορή(γει), Αἰϲχύλοϲ ἐδίδαϲκε.

472/1 = Ol. 77, 1. ἄ. Χάρηϲ.

472 Καλλίαϲ Διδυμίου Ἀθηναῖοϲ Olympia παγκράτιον vicit; statuam fecit Mico *I. Ol.* 146, cf. n. 606.

471/0 = Ol. 77, 2. ἄ. Πραξίεργοϲ.

470/69 = Ol. 77, 3. ἄ. Δημοτίων.

469/8 = Ol. 77, 4. ἄ. Ἀψεφίων.

468 Dionysiis. Sophocles Sophilli f. primum tragoedia vicit. MP 56; Plut. Cim. 8 (non pertinet ad Scyrum; cf. Wil. *Arist.* I 146, 41). Decem praetores, inter eos Cimo, Apsephionis archontis iussu τὴν τῶν τραγῳδῶν κρίϲιν faciunt. Sophocles Aeschylum vicit. An Aeschylus Prometheum docuerat? v. Wilamowitz *Aesch. Interpret.* 242²

468/7 = Ol. 78, 1. ἄ. Θεαγενίδηϲ.

467 Dionysiis Aeschyli Thebais: Arg. I ἐδιδάχθη ἐπὶ Θεαγένουϲ ὀλυμπιάδι οη´. ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ

98, 4. Ναξίοιϲ δὲ ἀποϲτᾶϲι μετὰ ταῦτα ἐπολέμηϲαν καὶ πολιορκίᾳ παρεϲτήϲαντο. πρώτη τε αὕτη πόλιϲ ξυμμαχὶϲ παρὰ τὸ καθεϲτηκὸϲ ἐδουλώθη.

470/69 Wil., cf. Busolt; 472/1 Beloch. Themistocles a. 472 vere, quo Persae acta est, fortasse iam Argis vixit (Wil.), sed utique nondum damnatus erat. Thuc. I 135, 3. Ostracismi tempus a. 471/0 [?] Beloch; cf. testas n. 910. Post damnationem Thuc. I 137, 2 fugiens καταφέρεται χειμῶνι ἐϲ τὸ Ἀθηναίων ϲτρατόπεδον ὃ ἐπολιόρκει Νάξον. Diod. XI 54/9 Themistoclis ostracismum, exilium, fugam, mortem s. a. 471 narrat.

Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίας Περσεῖ, Ταντάλῳ, Παλαισταῖς σατυρικοῖς τοῖς Πρατίνου πατρός. τρίτος Πολυφράσμων Λυκουργείᾳ τετραλογίᾳ.

468 ...όφρων Ἀθηναῖος Olympiae παίδων στάδιον vicit. Robert *Herm.* XXXV *Beil.* p. 141 sqq.

467/6 = Ol. 78, 2. ἄ. Λυσίστρατος.

466/5 = Ol. 78, 3. ἄ. Λυσανίας.

465/4 = Ol. 78, 4. ἄ. Λυσίθεος.

Drabescus. Thuc. I 100, 3 ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὑτῶν καὶ τῶν ξυμμάχων ... ὡς οἰκιοῦντας τὰς τότε καλουμένας Ἐννέα ὁδούς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί, προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν διεφθάρησαν ἐν Δραβησκῷ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων ...

Schol. Aeschin. II 31 ad Ἐννέα ὁδοὺς victi Athenienses δεύτερον οἱ μετὰ Λεάγρου κληροῦχοι ἐπὶ Λυσικράτους (Λυσιθέου Clinton; cf. Wil. *Aristot.* II 291. An Λυσανίου = 466/5?). Thuc. IV 102 cladem annis XXVIII ante Amphipolin conditam (437/6 + 28 = 465/4) posuit. Busolt III 200; Beloch II 2² 179. 193.

Sepulcra publica in Ceramico: Paus. I 29, 4 κατὰ τὴν ὁδὸν κεῖνται τὴν ἐς Ἀκαδημίαν, καὶ σφῶν ἑστᾶσιν ἐπὶ τοῖς τάφοις στῆλαι τὰ ὀνόματα καὶ τὸν δῆμον ἑκάστων λέγουσαι. πρῶτον δὲ ἐτάφησαν οὓς ἐν Θρᾴκῃ ποτὲ ἐπικρατοῦντας μέχρι Δραβησκοῦ τῆς χώρας Ἠδωνοὶ φονεύουσιν ἀνέλπιστοι ἐπιθέμενοι -- στρατηγοὶ δὲ ἄλλοι τε ἦσαν καὶ Λέαγρος, ᾧ μάλιστα ἐπετέτραπτο ἡ δύναμις, καὶ Δεκελεὺς Σωφάνης -- Cf. n. 928; v. Domaszewski *SB Ak. Heidelb.* 1917, 7. *Abh.*, 8. 9.

464/3 = Ol. 79, 1. ἄ. Ἀρχεδημίδης.

Paus. IV 24, 5 Sparta terrae motu deleta, Messeniorum seditio κατὰ τὴν ἐνάτην ὀλυμπιάδα καὶ ἑβδομηκοστήν, ἣν Κορίνθιος ἐνίκα Ξενοφῶν, Ἀρχιμήδους (sic! PA 2314) Ἀθήνησιν ἄρχοντος.

100, 1. ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ᾿ Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας.

Annus non constat. 470 Diodorus, qui XI 60—62 omnia Cimonis facinora ab Eione usque comprehendit. Probat Beloch; 467 aut 466 Wil., 468 Busolt, 465 ut priores Judeich. Cf. Cimonis et praetorum arbitrium s. a. 469/8.

Sepulcrum publicum Paus. I 29, 14 κεῖνται δὲ καὶ οἱ σὺν Κίμωνι τὸ μέγα ἔργον πεζῇ καὶ ναυσὶν αὐθημερὸν κρατήσαντες.

Anth. Pal. VII 258 Σιμωνίδου (105 Bergk[4]). εἰς τοὺς μετὰ Κίμωνος ἐν Εὐρυμέδοντι ἀριστεύσαντας.

οἵδε παρ᾿ Εὐρυμέδοντά ποτ᾿ ἀγλαὸν ὤλεσαν ἥβην
  μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
  κάλλιστον δ᾿ ἀρετῆς μνῆμ᾿ ἔλιπον φθίμενοι.

Cf. B. Keil *Herm.* XX 1885, 342, qui carmen cum Kruegero et Kaibelio a Simonide a' iudicat; pro genuino habent E. Meyer *Forsch.* II 20; Beloch II 2², 162. Aliud epigramma, quod ad ultima Cimonis bella spectat, perperam huc rettulit Ephorus (Diod. XI 62); v. sub a. 448.

Phaselis. Plut. Cim. 12 Cimo Cnido cum ducentis navibus profectus Phaselitas Chiis intercedentibus ut a rege deficerent commovit. τέλος δὲ διήλλαξεν αὐτοὺς ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. (Hinc inde ab a. 454 tributum pendebant Phaselitae. Atheniensium de Phaselitis decretum n. 16.) Deinde ad Eurymedontem Persas e navibus egressos et apud Hydrum triremes Phoenicum octoginta vicit. De Callisthene auctor cf. E. Meyer *Forsch.* II 1.

Arcis moenia: Plut. Cim. 13, 5 πραθέντων τῶν αἰχμαλώτων λαφύρων εἴς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν.

100, 2. χρόνῳ δὲ ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν καὶ ἐς τὴν γῆν ἀπέβησαν.

Paullo ante Drabescum; v. s. a. 465/4. Diod. XI 70: 464.

100, 3. ἐπὶ δὲ Στρυμόνα πέμψαντες -- ὑπὸ τοὺς αὐτοὺς χρόνους.

V. s. a. 465/4.

101, 1. Θάσιοι δὲ νικηθέντες μάχῃ καὶ πολιορκούμενοι Λακεδαιμονίους ἐπεκαλοῦντο ...

101, 2. οἱ δὲ ὑπέσχοντο μέν..., διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθαιῆς ἐς Ἰθώμην ἀπέστησαν ... 3. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις.

Thucydidi si credimus, terrae motus tunc temporis, i. e. c. a. 465/4, acciderat. Congruunt fere Plut. Cim. 16 de terrae motu Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος = 465/4; E. Meyer III § 294 A, et Paus. IV 24, 5, v. sub a. 464/3. V. infra c. 102, 1.

101, 3 Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

Cf. Diod. XI 70 = 464.

102, 1. Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δὲ ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ ... 3 ... οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο ... μόνους τῶν ξυμμάχων ἀπέπεμψαν ...

Terrae motum et Atheniensium auxilium iam arctissime coniunxit Aristophanes Lys. 1138 οὐκ ἴσθ᾿, ὅτ᾿ ἐλθὼν δεῦρο Περικλείδας ποτὲ | ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο | ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι | στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε | ὑμῖν ἐπέκειτο, χὠ θεὸς σείων ἅμα. | ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις | Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα. Rem ad annum 469 rettulit Diodorus XI 64, cf. XI 65, 3 τεταπεινωμένους sqq., ad a. 468/7 schol. Aristoph. 1144 Κίμων μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ιβ′ ἔτει ὕστερον. ταῦτα ἦν ἐπὶ Θεαγενίδου. καὶ γὰρ τοῦ Ταϋγέτου τι παρερράγη καὶ τὸ ᾠδεῖον καὶ ἕτερα καὶ οἰκίαι πλεῖσται, καὶ Μεσσήνιοι ἀποστάντες ἐπολέμουν καὶ οἱ εἵλωτες ἐπέστησαν, ἕως Κίμων ἐλθὼν διὰ τὴν ἱκετηρίαν ἔσωσεν αὐτούς. E Philochoro? v. Wilamowitz *Ar.* II 295. Traditionis pars bona, pars ex Aristophane desumpta. Cogitari potest, et Aristophanem ut poëtam et Thucydidem res contraxisse; obsessio quantum tempus consumpserit non constat. Nihilominus annum computo inven-

463/2 = Ol. 79, 2. Τληπόλεμος.

462/1 = Ol. 79, 3. ἄ. Κόνων.

Ephialtes (Arist. Ἀθ. π. 25, 2) ἐπὶ Κ. ἄρχ. τῆς βουλῆς (Areopagi) ἅπαντα περιείλετο τὰ ἐπίθετα δι' ὧν ἦν ἡ τῆς πολιτείας φυλακή, καὶ τὰ μὲν τοῖς πεντακοσίοις, τὰ δὲ τῷ δήμῳ καὶ τοῖς δικαστηρίοις ἀπέδωκεν. Cf. Diod. XI 77 s. a. 460/59!

Cimon ostracismo expulsus. Vide sub a. 458/7.

461/0 = Ol. 79, 4. ἄ. Εὔιππος.

460/59 = Ol. 80, 1. ἄ. Φρασικλείδης.

459/8 = Ol. 80, 2. ἄ. Φιλοκλῆς.

458 Dionysiis. Aeschylus (Argum. Agam.) Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ vicit. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς (-αῖος Wil.). Syll.³ 1078 XV κωμῳδῶν Εὐρυκλείδης ἐχορήγει, Εὐφρόνιος ἐδίδασκε. τραγῳδῶν Ξενοκλῆς Ἀφιδνα(ῖος) ἐχορή(γει), Αἰσχύλος ἐδίδασκεν.

459/8 res in Erechtheidis monumento enarratae n. 929.

458/7 = Ol. 80, 3. ἄ. Ἅβρων.

Thuc. I 107 ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ.

Lacedaemonii Dorensibus Metropolitanis contra Phocenses opem ferunt. Athenienses tum Geraneam, Megara, Pegas praesidiis tenebant; sed ἄνδρες τῶν Ἀθηναίων Lacedaemonios in Boeotiam secuti sunt ἐλπίσαντες δῆμόν τε καταπαύσειν καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. Atheniensibus auxilio venerunt Argivi et Thessali. Lacedaemonii cum sociis ἐν Τανάγρᾳ vicerunt (vere 457). Thuc. I 107. 108, 1.

Sepulcra publica Melanopi et Macartati equitum qui contra Lacedaemonios et Boeotos occubuerunt ἔνθα τῆς Ἐλεωνίας εἰσὶ χώρας πρὸς Ταναγραίους ὅροι. Paus. I 29, 6. Cf. n. 946?

Monumenta Cleonaeorum et Argivorum in Ceramico publice sepultorum Paus. I 29, 7; n. 931/2.

Lacedaemoniorum donarium Olympiae in Jovis templo dedicatum ἀσπὶς χρυσῆ· τὸ ἐπίγραμμα δὲ τὸ ἐπὶ τῇ ἀσπίδι -- (Paus. V 10, 4, cf. *Inschr. Olymp.* 253; Preger IG metr. 59):

ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ Τανάγρας
τοὶ Λακεδαιμόνιοι συμμαχία τ' ἀνέθεν
δῶρον ἀπ' Ἀργείων καὶ Ἀθαναίων καὶ Ἰώνων,
τὰν δεκάταν νίκας εἵνεκα τοῦ πολέμου.

4 τοῦ testatur lapis; habet ex nominibus sociorum infra scriptis v. 5 Κορ[ίνθ]ι[οι], 6 [Ἀ]ρ[κάδες]?

Cimon revocatus οὐδέπω πέντε ἐτῶν παρεληλυθότων (cf. 462/1) Theopomp. fr. 88 Grenf.; κατῆλθε τὸ ψήφισμα γράψαντος αὐτῷ Περικλέους Plut. Cim. 17; deinde rursus abiit.

457/6 = Ol. 80, 4. ἄ. Μνησιθείδης.

Ar. Ἀθ. π. 26, 2 ἕκτῳ ἔτει μετὰ τὸν Ἐφιάλτου θάνατον ἔγνωσαν καὶ ἐκ ζευγιτῶν προκρίνεσθαι τοὺς κληρωσομένους τῶν ἐννέα ἀρχόντων, καὶ πρῶτος ἦρξεν ἐξ αὐτῶν Μν.

457 Oenophyta. Thuc. I 108, 2 Ἀθηναῖοι δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς

---

tum esse non est improbabile; id agebatur, ut bellum decem annorum evaderet, ut Troianum et sacrum illud primum. Terrae motum et Cimonis expeditionem annis 468 et 461 Wilamowitz, 465/4 et 463/2 attribuunt Busolt et Beloch.

102, 4. οἱ δ' Ἀθηναῖοι ... εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο, καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη.

Diod. XI 77 s. a. 460, v. Scala *Staatsvertr.* 51. 52; v. Wilamowitz *Ar.* II 301, post Cimonis ostracismum; contra a. 462/1 Beloch, ante hunc ostracismum, cuius tempus (462/1) constat.

103, 1. οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει ... ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς ... 3 ... καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ᾑρηκότες νεωστὶ Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων.

Diod. XI 64, 4 (a. 469) ἐπὶ δὲ ἔτη δέκα τοῦ πολέμου μὴ δυναμένου διακριθῆναι, quae Thucydidis lectionem δεκάτῳ probare videntur. Pessime idem XI 84 Ithomen captam sub a. 456 refert. Quod ante pugnam Tanagraeam factum esse Herodotus IX 35 demonstrat. Hinc 459/8 Wilamowitz, 460/59 Busolt, 461/0 Beloch.

103, 4. προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν Λακεδαιμονίων ἀποστάντες ... καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγὰς καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν καὶ ἐφρούρουν αὐτοί.

A. 460/59 Busolt, 462/1 Beloch 206.

104, 1. Ἰνάρως δὲ ὁ Ψαμμητίχου ... ἀπέστησεν Αἴγυπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρταξέρξου, καὶ ... Ἀθηναίους ἐπηγάγετο.

Haec et Athenienses et Artaxerxem bellum parantes Diod. XI 71, 6 sub a. 463 habet; Beloch 463/2.

104, 2. οἱ δὲ (= Ἀθηναῖοι) — ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων — ἦλθον ... καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον τοῦ τε ποταμοῦ κρατοῦντες καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν πρὸς τὸ τρίτον μέρος ὃ καλεῖται Λευκὸν τεῖχος ἐπολέμουν.

Diod. XI 74 haec et ingentem Persarum cladem novosque Artaxerxis apparatus et regis legatos frustra ad Lacedaemonios missos sub a. 462 narrat. Beloch 462/1.

105, 1. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιᾶς πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο, καὶ ἐνίκων Κορίνθιοι.

καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί, καὶ ἐνίκων Ἀθηναῖοι.

105, 2. πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν, καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν, καὶ ἐνίκων Ἀθηναῖοι, καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν ἐς τὴν γῆν ἀπέβησαν καὶ ἐπολιόρκουν Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος.

Μυρωνίδου στρατηγοῦντος, καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον, τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἐπετέλεσαν. Cf. Diod. XI 81/2.

Aegina Thuc. I 108, 4 ὡμολόγησαν δὲ καὶ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις τείχη τε περιελόντες καὶ ναῦς παραδόντες φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Cf. n. 18. De terminis Aeginae positis *h*όρος τεμένος Ἀθεναίας cf. IG IV 29—31; *h*. τ. Ἀθεναίες 32; notam initialem p. 235.

*457 hieme (458 autumno Beloch) Megabazus Athenienses in Prosopitide insula obsidet ἐνιαυτὸν καὶ ἓξ μῆνας Thuc. I 109, 4.

456/5 = Ol. 81, 1. ἄ. Καλλέας ὁ πρότερος. MP ep. 59 (alibi Καλλίας).

455 Dionysiis: Euripides ἐπὶ Κ. ἄ. ἤρξατο διδάσκειν - - πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας. vita Eur.

456/5 vere (Busolt III 326[1]) Diod. XI 84. Tolmides cum classe Methonen capit, Gytheum incendio vastat. Zacynthum et Cephalleniam et Naupactum capit. — Naupactum Messeniorum τοῖς ἐπισήμοις tradita [? v. infra].

Schol. Aeschin. II 75 Τολμίδου· οὗτος περιπλεύσας Πελοπόννησον μετ᾽ Ἀθηναίων εὐδοκίμησε λαμπρῶς καὶ Βοιὰς καὶ Κύθηρα εἷλεν ἄρχοντος Ἀθήνησι Καλλίου. ἐνέπρησε δὲ ὁ Τ. καὶ τὰ νεώρια Λακεδαιμονίων.

455/4 = Ol. 81, 2. ἄ. Σωσίστρατος.

454 vere. Aerarium foederis Delii Athenas in arcem translatum hellenotamiis traditur. Quod ante Panathenaea aestatis 454 factum esse patet.

Diod. XI 85 Περικλῆς Ξανθίππου στρατηγὸς cum L triremibus Peloponnesum vastat, Acarnaniam praeter Oeniadas Atheniensibus conciliat. οἱ μὲν οὖν Ἀθηναῖοι κατὰ τοῦτον τὸν ἐνιαυτὸν πλείστων πόλεων ἦρξαν. Beloch II 2[2] 202.

454/3 = Ol. 81, 3. ἄ. Ἀρίστων. — Panathenaea magna.

Tributa: annus I *h*αίδε τôν φόρον τôν παρὰ τôν *h*ελλενοταμιôν, *h*οῖς .....[11]..... ἐγραμμάτευε, τοῖς τριάκοντα ἀπεφάνθεσαν ἀπαρχαὶ τε̃ι θεôι ἐπὶ Ἀρίστονος ἄρχοντος Ἀθεναίοις, μνᾶ ἀπὸ τô ταλάντο. n. 191 cf. n. 220 ἔρχε δὲ Ἀθεναίοις Ἀριστίον (a. 421/0) - - ἐπὶ τε̃ς τετάρτες καὶ τρ[ιακοστε̃ς ἀρχε̃ς.

[Atheniensium et Peloponnesiorum πεντέτεις σπονδαί?? Diod. XI 86, 1; v. 450/49].

Atheniensium et Phocensium foedus n. 26_{12} [ἐ[μ(μ)ενô τοῖς ὅρκοισι]ν τοῖς ἐπ᾽ Ἀρ[ίστονος ἄρχοντος γε]νομένοις. Busolt III 333[2].

Diod. XI 86, 2 κατὰ δὲ τὴν Σικελίαν Ἐγεσταίοις καὶ Λιλυβαίταις (Ἀλικυαίοις Unger et Koehler) ἐνέστη πόλεμος (πρὸς Σελινουντίους add. Beloch II 1[2] 202[4]) περὶ χώρας τῆς πρὸς τῷ Μαζάρῳ ποταμῷ.

n. 19. 20 Atheniensium foedera cum Halicyaeis et Segestanis.

453/2 = Ol. 81, 4. ἄ. Λυσικράτης.

Tributa: ἀρχὴ II ἧ̣ι Λ - - ἐγραμμάτευε. n. 192.

Arist. Ἀθ. π. 26, 3 ἔτει δὲ πέμπτῳ μετὰ ταῦτα (457/6) ἐπὶ Λ. ἄ. οἱ τριάκοντα δικασταὶ κατέστησαν πάλιν οἱ καλούμενοι κατὰ δήμους.

452/1 = Ol. 82, 1. ἄ. Χαιρεφάνης.

Tributa: ἀρχὴ III ἧι Διότιμος ἐγραμμάτευε n. 193.

451 Arthmium Zelitam Athenienses Cimone rogante damnant cf. Swoboda *AEMÖst.* XVI 1893, 49; Krech De Crateri ψ. c. 40 sqq.; Busolt II[2] 653[3] III 328[1]; Judeich *Hermes* LVIII 1923, 4. Demosth. IX 41 (οἱ πρόγονοι) κατέθεντ᾽ εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν ... „Ἄρθμιος᾽ φησὶν ‚Πυθώνακτος Ζελείτης ἄτιμος καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος᾽[1]) ... ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν᾽. Cf. XIX 271 (minus accurate: Swob.); Aesch. III 258 Arthmium dicit πρόξενον ὄντα τοῦ δήμου τοῦ Ἀθηναίων. Dinarch. II 24. Decretum perperam ad Themistoclem rettulit Plut. Them. 6.

Arthmius una cum Megabazo Persa (autumno a. 457? Thuc. I 109) in Peloponnesum venisse videtur, sed a Cimone reduce demum accusatus esse. Num post pugnam Tanagraeam tempus suppetierit, dubitare licet.

451/0 = Ol. 82, 2. ἄ. Ἀντίδοτος.

Tributa: ἀρχὴ IV ἧι - - λης ἐγραμμάτευε Ἁλιμούσιος n. 194.

105, 3. Πελοποννήσιοι ... ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας ... διεβίβασαν ... καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι ... 4. οἱ δὲ Ἀθηναῖοι ... ἀφικνοῦνται ἐς τὰ Μέγαρα Μυρωνίδου στρατηγοῦντος. 5. καὶ μάχης γενομένης ἰσορρόπου ...

104, 2—105, 5 uno anno gesta, quod archontis Attici non esse oportet, sed potest. Erechtheidis monumentum n. 929 οἵδε ἐν τῷ πολέμῳ ἀπέθανον ἐν Κύπρῳ, ἐν Αἰγύπτῳ, ἐν Φοινίκῃ, ἐν Ἁλιεῦσιν, ἐν Αἰγίνῃ, Μεγαροῖ τοῦ αὐτοῦ ἐνιαυτοῦ Epitaphiis a. 458/7 ineunte hieme erectum esse videtur; res anno fere 459/8 attribuntur. Diod. XI 77—79 eas sub annis 460—458 narrat.

107, 1. ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη Ἀθηναῖοι ἐς θάλασσαν οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ.

107, 2—108, 5. Bellum de Doride. Tanagra (v. 458/7 aestate). Oenophyta (v. 457/6). Aegina capta. Tolmides (456/5).

109, 1. οἱ δ᾽ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἐπέμενον ... 2. καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην χρήματα ἔχοντα ... ὡς δὲ αὐτῷ οὐ προυχώρει καὶ τὰ χρήματα ἄλλως ἀνηλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἀνεκομίσθη, (Μεγάβυζον δέ) ...

Huc iure referunt ad Arthmii nefas; sed causa eius acta non est nisi Cimone reverso; v. supra sub 452/1.

109, 3. Μεγάβυζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ στρατιᾶς πολλῆς· 4. ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε καὶ ἐκ τῆς

Ar. Ἀθ. π. 26, 4 τρίτῳ μετὰ τοῦτον (453/2) ἐπ' Ἀ. διὰ τὸ πλῆθοϲ τῶν πολιτῶν Περικλέουϲ εἰπόντοϲ ἔγνωϲαν μὴ μετέχειν τῆϲ πόλεωϲ ὃϲ ἂν μὴ ἐξ ἀμφοῖν ἀϲτοῖν ᾖ γεγονώϲ. Cf. v. Wilamowitz *Ar. u. Ath.* I 223[75]; Harp. ναυτοδίκαι· Λυϲίαϲ ἐν τῷ πρὸϲ Ἀλκιβιάδην, εἰ γνήϲιοϲ ὁ λόγοϲ. ἀρχή τιϲ ἦν Ἀθήνηϲιν οἱ ναυτοδίκαι· Κρατερὸϲ γοῦν ἐν τῷ δʹ τῶν ψηφιϲμάτων φηϲίν· 'ἐὰν δέ τιϲ ἐξ ἀμφοῖν ξένοιν γεγονὼϲ φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷϲ δίκαι εἰϲί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸϲ τοὺϲ ναυτοδίκαϲ'. Ἀριϲτοφάνηϲ Δαιταλεῦϲιν (I 450, 225 Kock)· 'ἐθέλω βάψαϲ πρὸϲ ναυτοδίκαϲ ξένην ἐξαίφνηϲ'.

451/0 Cimonis reditus post decem annorum exilium Diod. XI 86, 1 (ad a. 454!); Andoc. III 3.

451/0 Peloponnesiorum et Atheniensium ϲπονδαὶ πεντέτειϲ Thuc. I 112; v. Scala *Staatsvertr.* 60. Suaserat Cimo Diod. XI 86, 1 [falso ad a. 454/3].

451/0. 450/49 Thuc. I 112, 2 ἐϲ δὲ Κύπρον ἐϲτρατεύοντο ναυϲὶ διακοϲίαιϲ αὑτῶν τε καὶ τῶν ξυμμάχων Κίμωνοϲ ϲτρατηγοῦντοϲ· καὶ ἑξήκοντα μὲν νῆεϲ ἐϲ Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευϲαν, Ἀμυρταίου μεταπέμποντοϲ τοῦ ἐν τοῖϲ ἕλεϲι βαϲιλέωϲ, αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνοϲ δὲ ἀποθανόντοϲ καὶ λιμοῦ γενομένου ἀπεχώρηϲαν ἀπὸ Κιτίου· καὶ πλεύϲαντεϲ ὑπὲρ Σαλαμῖνοϲ τῆϲ ἐν Κύπρῳ Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχηϲαν καὶ ἐπεζομάχηϲαν ἅμα, καὶ νικήϲαντεϲ ἀμφότερα ἀπεχώρηϲαν ἐπ' οἴκου καὶ αἱ ἐξ Αἰγύπτου νῆεϲ πάλιν ἀνελθοῦϲαι μετ' αὐτῶν.

(450) Diod. XII 3. Κίμων Μιλτιάδου Cyprum missus Citium et Marium expugnat, Persas pugna navali vincit. Cf. 449/8. De expeditione inter duos annos distribuenda Beloch II 2^2 211 (Busolt: 450/49. 449/8).

450/49 = Ol. 82, 3. ἄ. Εὔθυνοϲ (n. 22_{75}; Εὐθυδήμου Diod. XII 3). Panathenaea magna.

Tributa: ἀρχὴ V ἧ - - ἐγραμμάτευε Ἁλαιεύϲ. n. 195. Nova φόρων τάξιϲ Busolt III 207[1].

Lacedaemoniorum et Argivorum τριακοντούτειϲ ϲπονδαί Thuc. V 14, 4; 28, 2; 44, 1; v. Scala *Staatsvertr.* 59.

Atheniensium decretum de Milesiis n. 22. Eodem anno Milesii legem contra tyrannos sanxerunt, aliam de molporum officiis saeculo sexto conceptam, a. 479/8 auctam redegerunt. Syll.^{3} 58. 57.

449/8 = Ol. 82, 4. ἄ. Πεδιεύϲ.

Tributa. ἀρχὴ VI ἧ Μενέτιμοϲ ἐγραμμάτευε Λαμπτρεύϲ. Primum occurrit forma Σ pro ≶ n. 196.

449 Diod. XII 4. Artaxerxis regis epistula τοῖϲ περὶ Κύπρον ἡγεμόϲι καὶ ϲατράπαιϲ Artabazo et Megabyzo data. Legati Athenas de pace missi. Athenienses Calliam Hipponici alios legatos mittunt. Calliae pax: αὐτονόμουϲ εἶναι τὰϲ κατὰ τὴν Ἀϲίαν Ἑλληνίδαϲ πόλειϲ ἁπάϲαϲ, τοὺϲ δὲ τῶν Περϲῶν ϲατράπαϲ μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδόν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸϲ Φαϲήλιδοϲ καὶ Κυανέων· ταῦτα δὲ τοῦ βαϲιλέωϲ καὶ τῶν ϲτρατηγῶν ἐπιτελούντων, μὴ ϲτρατεύειν Ἀθηναίουϲ εἰϲ τὴν χώραν, ἧϲ βαϲιλεὺϲ [[Ἀρταξέρξηϲ]] ἄρχει.

Calliae pax 449/8 Beloch II 2^2 386; cf. E. Meyer *Forsch.* II 71. Stelam fictam esse concludit Theopompus ap. Harpocr. Ἀττικοῖϲ γράμμαϲιν - - Θεόπομποϲ δ' ἐν τῇ κεʹ τῶν Φιλιππικῶν ἐϲκευωρῆϲθαι λέγει τὰϲ πρὸϲ τὸν βάρβαρον ϲυνθήκαϲ, ἃϲ οὐ τοῖϲ Ἀττικοῖϲ γράμμαϲιν ἐϲτηλιτεῦϲθαι, ἀλλὰ τοῖϲ τῶν Ἰώνων, quod argumentum stelis antiquioribus litteris Ionicis perscriptis (n. 16 cf. 14/5 Ψ in decretis, quibus addas usum privatum) refutatum est. De legatione Hdt. VII 151 πολλοῖϲι ἔτεϲι ὕϲτερον quam bellum anni 480: - - τυχεῖν ἐν Σούϲοιϲι τοῖϲι Μεμνονίοιϲι ἐόνταϲ ἑτέρου πρήγματοϲ εἵνεκα ἀγγέλουϲ Ἀθηναίων, Καλλίην τε τὸν Ἱππονίκου καὶ τοὺϲ μετὰ τούτου ἀναβάνταϲ. Pacis quam falso Cimoni attribuit condiciones e Cratero (FHG II 621, 7) ita refert Plut. Cim. 13: (Κίμωνα) ϲυνθέϲθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆϲ Ἑλληνικῆϲ ἀπέχειν θαλάϲϲηϲ, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν (qua de re Callisthenes dubitavit) - - ἐν δὲ τοῖϲ ψηφίϲμαϲιν ἃ ϲυνήγαγε Κράτεροϲ ἀντίγραφα ϲυνθηκῶν ὡϲ γενομένων κατατέτακται. φαϲὶ δὲ καὶ βωμὸν Εἰρήνηϲ διὰ ταῦτα τοὺϲ Ἀθηναίουϲ ἱδρύϲαϲθαι, καὶ Καλλίαν τὸν πρεϲβεύϲαντα τιμῆϲαι διαφερόντωϲ. De oratoribus cf. Meyer 73/79; idem quae legatio regi concesserit, demonstrat. Calliam paullo post punitum esse docet Demosth. XIX 273 Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυλουμένην εἰρήνην πρεϲβεύϲαντα, ἵππου μὲν δρόμον ἡμέραϲ μὴ καταβαίνειν ἐπὶ τὴν θάλατταν βαϲιλέα, ἐντὸϲ δὲ Χελιδονίων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεϲβεύϲαϲ, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ ταῖϲ εὐθύναιϲ πεντήκοντ' ἐπράξαντο τάλαντα.

Tunc Hipponicus (Calliae f.) decretum de Minervae Victoriae templo secundum Callicratis formam aedificando rogavit (n. 24).

Victoriae Cypriae monumentum. Diodorus XI 62 postquam sub a. 470, Ephorum secutus, pugnam ad Eury-

---

Μέμφιδοϲ ἐξήλαϲε τοὺϲ Ἕλληναϲ καὶ τέλοϲ ἐϲ Προϲωπίτιδα τὴν νῆϲον κατέκληϲε καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ ἓξ μῆναϲ ... καὶ διαβὰϲ εἷλε.

110, 1. οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη ἓξ ἔτη πολεμήϲαντα.

463/2—457/6 Beloch (459/8—454/3 Wilamowitz); 460/59—455/4 Busolt; clades utique antequam Athenienses decernerent, ut thesaurus Delo Athenas transferretur, i. e. ante ver 454 accidisse videtur.

110, 4. ἐκ δὲ τῶν Ἀθηνῶν καὶ τῆϲ ἄλληϲ ξυμμαχίδοϲ πεντήκοντα τριήρειϲ διάδοχοι πλέουϲαι ἐϲ Αἴγυπτον ... maior pars deleta.

111, 1. ἐκ δὲ Θεϲϲαλίαϲ Ὀρέϲτηϲ ὁ Ἐχεκρατίδου υἱὸϲ τοῦ Θεϲϲαλῶν βαϲιλέωϲ φεύγων ἔπειϲεν Ἀθηναίουϲ ἑαυτὸν κατάγειν, καὶ παραλαβόντεϲ Βοιωτοὺϲ καὶ Φωκέαϲ ὄνταϲ ξυμμάχουϲ οἱ Ἀθηναῖοι ἐϲτράτευϲαν τῆϲ Θεϲϲαλίαϲ ἐπὶ Φάρϲαλον ... ἀπεχώρηϲαν πάλιν Ὀρέϲτην ἔχοντεϲ ἄπρακτοι.

Diod. XI 83 haec Myronide duce sub a. 457 refert, quo etiam Tanagram et Oenophyta collocavit. 455/4 Wilamowitz, 456/5 Beloch.

111, 2. μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕϲτερον χίλιοι Ἀθηναίων ἐπὶ τὰϲ ναῦϲ τὰϲ ἐν Πηγαῖϲ ἐπιβάντεϲ ... παρέπλευϲαν ἐϲ Σικυῶνα Περικλέουϲ τοῦ Ξανθίππου ϲτρατηγοῦντοϲ ... 3. καὶ εὐθὺϲ παραλαβόντεϲ Ἀχαιοὺϲ καὶ διαπλεύϲαντεϲ πέραν, τῆϲ Ἀκαρνανίαϲ ἐϲ Οἰνιάδαϲ ἐϲτράτευϲαν ...

Diod. XI 85 = a. 455; 88 = a. 453; 453/2 Busolt 329. 339.

112, 1. ὕϲτερον δὲ διαλιπόντων ἐτῶν τριῶν ϲπονδαὶ γίγνονται Πελοποννηϲίοιϲ καὶ Ἀθηναίοιϲ πεντέτειϲ.

450/49 Wilamowitz, 450/49 Busolt, 452/1 Beloch.

medontem commissam narravit, ita pergit: ὁ δὲ δῆμος τῶν Ἀθηναίων δεκάτην ἐξελόμενος ἐκ τῶν λαφύρων ἀνέθηκε τῷ θεῷ, καὶ τὴν ἐπιγραφὴν ἐπὶ τὸ κατασκευασθὲν ἀνάθημα ἐνέγραψε τήνδε·

ἐξ οὗ γ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμε
 καὶ πόλιας [1]) θνητῶν θοῦρος Ἄρης ἐπέχει,
οὐδέν πω τοιοῦτον ἐπιχθονίων γένετ' ἀνδρῶν
 ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ἅμα.
οἵδε γὰρ ἐν Κύπρῳ Μήδους πολλοὺς ὀλέσαντες
 Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας, μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
 πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

[1]) πολέας codd.

Ephorum sequitur Aristides XLVI p. 209 Dind.: ἐπὶ δὲ Εὐρυμέδοντι ποταμῷ ναυμαχίας καὶ πεζομαχίας μνημεῖα ἔστησεν ἀμφότερα ἡμέρᾳ μιᾷ ἡμῶν.

Anth. Pal. VII 296 Σιμωνίδου τοῦ Κηΐου. εἰς τοὺς μετὰ Κίμωνος στρατευσαμένους ἐν Κύπρῳ Ἀθηναίους, ὅτε τὰς ἑκατὸν ναῦς τῶν Φοινίκων ἔλαβεν. v. l.: 2 πόλεμον λαῶν θ. Ἄ. ἐφέπει. 3 οὐδαμά πω καλλίων. 5 Μήδων.

Schol. Aristidis III p. 209 Dind. εἰς τὰς αὐθημερὸν ταύτας νίκας Σιμωνίδης ὕμνησε. Exhibet: 1 ἔκρινε. 2 πόλιας θνητῶν — ἐφέπει. 3 οὐδαμά πω καλλίων. 4 ὁμοῦ. 5 ἐν γαίῃ Μήδων. 7 αὐτῶν.

Cf. B. Keil *Herm.* XX 1885, 343; Preger IG metr. 269; E. Meyer *Forsch.* 1891, II 1; Boas De epigrammatis Simonideis I 104; E. Schwartz *Herm.* XXXV 1900, 117. 120; v. Domaszewski *SB Ak. Heidelb.* 1914, 10. *Abh.* 16; L. Weber *Philol.* LXXIV 1919, 249.

Epigrammatis famosi initium imitatus est poeta monumenti Lycii (Kaibel Epigr. Gr. 768; TAM I 38; Geffcken *Gr. Epigr.* 98) saeculo exeunte quinto et sera aetate Athenienses (Kaibel Epigr. Gr. 844, IG II^2 1141); allusit iam a. 380(?) Isocrates IV 179/80.

Totum esse genuinum contra eos qui addubitaverant defendit Weber l. l. Ephorus ap. Diodorum donarium dicit deo (scilicet Delphico [Weber 255] missum; attamen a monumento sepulcrali exorsum esse poëtam verba οἵδε — ἕλον demonstrant (Krueger, Kaibel, Weber 251). Hoc iure suo ad Ceramicum refert Weber 257 not.; num idem carmen donario alicui Delphico inscripserint Athenienses, quod Ephoro innotuerit, non liquet.

Sepulcrum publicum in Ceramico Paus. I 29, 13 οἱ πλεύσαντες ἐς Κύπρον ὁμοῦ Κίμωνι.

448/7 = Ol. 83, 1. ἄ. Φιλίσκος.

Tributa: ἀρχή VII. n. 197.

Colonia in Chersonnesum Thracicam missa. n. 375 cum nota de ea et de Tyrodiza.

(449 vere et) 448/7 aestate (Beloch). Bellum sacrum.

Thuc. I 112, 5 Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα (i. e. bellum Cyprium) τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν Δελφοῖς. καὶ αὖθις ὕστερον Ἀθηναῖοι ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσιν.

Plut. Per. 21 -- τὸν ἱερὸν -- πόλεμον. ἐπεὶ γὰρ οἱ Λακεδαιμόνιοι στρατεύσαντες εἰς Δελφοὺς Φωκέων ἐχόντων τὸ ἱερὸν Δελφοῖς ἀπέδωκαν, εὐθὺς ἐκείνων ἀπαλλαγέντων ὁ Περικλῆς ἐπιστρατεύσας πάλιν εἰσήγαγε τοὺς Φωκέας. καὶ τῶν Λακεδαιμονίων ἣν ἔδωκαν αὐτοῖς Δελφοὶ προμαντείαν εἰς τὸ μέτωπον ἐγκολαψάντων τοῦ χαλκοῦ λύκου (cf. Paus. X 14, 7), λαβὼν καὶ αὐτὸς προμαντείαν τοῖς Ἀθηναίοις εἰς τὸν αὐτὸν λύκον κατὰ τὴν δεξιὰν πλευρὰν ἐνεχάραξεν.

Schol. Aristoph. Av. 556 γεγόνασι δὲ δύο πόλεμοι ἱεροί, πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκεῖς ὑπὲρ Δελφῶν· καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. ὕστερον δὲ τρίτῳ ἔτει τοῦ πρώτου πολέμου Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων καὶ τὸ ἱερὸν ἀποδεδώκασι Φωκεῦσι, καθάπερ καὶ Φιλόχορος (FHG I 398, 88) ἐν τῇ τετάρτῃ λέγει.

Cf. Busolt III 419; Beloch II 2^2 213; Pomtow Dittenb. Syll.^{3} 59.

Quod decreto n. 27 Delphi quidam ab Atheniensibus laudantur ut εὐεργετοῦντες, huc referre licebit.

Phocensium cum Atheniensibus foedus n. 26.

447 vere? Periclis de concilio omnium Graecorum decretum. Plut. Per. 17 e Crateri ψηφισμάτων συναγωγῇ. E. Meyer IV § 387; Busolt III 446; Beloch II 1^2 178. 179^1.

ἀρχομένων δὲ Λακεδαιμονίων ἄχθεσθαι τῇ αὐξήσει τῶν Ἀθηναίων, ἐπαίρων ὁ Περικλῆς τὸν δῆμον ἔτι μᾶλλον μέγα φρονεῖν καὶ μεγάλων αὑτὸν ἀξιοῦν πραγμάτων γράφει ψήφισμα, πάντας Ἕλληνας τοὺς ὁποίποτε κατοικοῦντας Εὐρώπης ἢ τῆς Ἀσίας παρακαλεῖν, καὶ μικρὰν πόλιν καὶ μεγάλην, εἰς σύλλογον πέμπειν Ἀθήναζε τοὺς βουλευσομένους περὶ τῶν Ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι, καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ἑλλάδος εὐξάμενοι τοῖς θεοῖς ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ τὴν εἰρήνην ἄγωσιν. ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν, ὧν πέντε μὲν Ἴωνας καὶ Δωριεῖς τοὺς ἐν Ἀσίᾳ καὶ νησιώτας ἄχρι Λέσβου καὶ Ῥόδου παρεκάλουν, πέντε δὲ τοὺς ἐν Ἑλλησπόντῳ καὶ Θρᾴκῃ μέχρι Βυζαντίου τόπους ἐπῄεσαν, καὶ πέντε ἐπὶ τούτοις εἰς Βοιωτίαν καὶ Φωκίδα καὶ Πελοπόννησον, ἐκ δὲ ταύτης διὰ Λοκρῶν ἐπὶ τὴν πρόσοικον ἤπειρον ἕως Ἀκαρνανίας καὶ Ἀμβρακίας ἀπεστάλησαν· οἱ δὲ λοιποὶ δι' Εὐβοίας ἐπ' Οἰταίους καὶ τὸν Μαλιέα κόλπον καὶ Φθιώτας [[καὶ]] Ἀχαιοὺς καὶ Θεσσαλοὺς ἐπορεύοντο, συμπείθοντες ἰέναι καὶ μετέχειν τῶν βουλευμάτων ἐπ' εἰρήνῃ καὶ κοινοπραγίᾳ τῆς Ἑλλάδος. ἐπράχθη δ' οὐδέν, οὐδὲ συνῆλθον αἱ πόλεις Λακεδαιμονίων ὑπεναντιωθέντων ὡς λέγεται - -

447/6—432/1 Pericles arcem et Eleusinem exornat. Plut. Per. 13 - - τὰ Περικλέους ἔργα - - πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ Φειδίας, καίτοι μεγάλους ἀρχιτέκτονας ἐχόντων καὶ τεχνίτας τῶν ἔργων. τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος, τὸ δ' ἐν Ἐλευσῖνι τελεστήριον ἤρξατο μὲν Κόροιβος οἰκοδομεῖν, καὶ τοὺς ἐπ' ἐδάφους κίονας ἔθηκεν οὗτος καὶ τοῖς ἐπιστυλίοις ἐπέζευξεν· ἀποθανόντος δὲ τούτου Μεταγένης ὁ Ξυπέτιος τὸ διάζωσμα καὶ τοὺς ἄνω κίονας ἐπέστησε·

τὸ δ' ὀπαῖον ἐπὶ τοῦ ἀνακτόρου Ξενοκλῆς ὁ Χολαργεὺς ἐκορύφωσε· τὸ δὲ μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης (Plat. Gorg. 455 e) ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους (nota decretum), ἠργολάβησε Καλλικράτης. κωμῳδεῖ δὲ τὸ ἔργον Κρατῖνος (fr. 300 K.) ὡς βραδέως περαινόμενον·

πάλαι γὰρ αὐτό, φησι,
λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ.

τὸ δ' Ὠιδεῖον - - εἰκόνα λέγουσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους. v. sub a. 445/4.

Strab. IX 395 εἶτ' Ἐλευσὶν πόλις, ἐν ᾗ τὸ τῆς Δήμητρος ἱερὸν τῆς Ἐλευσινίας, καὶ ὁ μυστικὸς σηκός, ὃν κατεσκεύασεν Ἰκτῖνος, - -, ὃς καὶ τὸν Παρθενῶνα ἐποίησε τὸν ἐν ἀκροπόλει τῇ Ἀθηνᾷ, Περικλέους ἐπιστατοῦντος τῶν ἔργων.

Rationes operis publici per octo vel decem annos (c. 455/4—446/5?) continuati n. 335.

Locatio et aedificatio Eleusiniae a. 446/5 anteriores n. 336.

Opus incertum per novem fere annos continuatum, quod magnam Minervam aeneam (volgo Πρόμαχον appellatam) in arce erectam fuisse putant, ante a. 446/5 n. 338.

Minervae statua ex auro et ebore facta c. a. 447/6(?)—438/7. n. 354—362. Phidiae opus. Primi lapidis litteratura annis 447/6 vel 446/5 accommodatissima. Cf. notam ad h. l.

447/6 = Ol. 83, 2. ἄ. Τιμαρχίδης.

Tributa: ἀρχὴ VIII ᾗ Διόδ[..ος ἐγραμμάτευε Π]αιονίδης n. 198.

447/6—433/2 Parthenon exaedificatur. Annus I n. 339.

447 Diod. XII 6. Athenienses ad Coroneam a Boeotis victi; ἠναγκάσθησαν ἀφεῖναι τὰς πόλεις ἁπάσας τὰς κατὰ τὴν Βοιωτίαν αὐτονόμους, ἵνα τοὺς αἰχμαλώτους ἀπολάβωσιν. Cf. Thuc. I 113; v. Scala *Staatsvertr.* 61.

Monumentum publicum Τολμίδου καὶ τῶν σὺν αὐτῷ - - qui ad Coroneam occubuerunt Paus. I 29, 14.

Proxenia hominibus Thespiensibus tunc demum (aut paullo ante pugnam?) data n. 36.

c. 447/6 Cleruchia Lemnum deducta. Minerva Lemnia Paus. I 28, 2 τῶν ἔργων τῶν Φειδίου θέας μάλιστα ἄξιον Ἀθηνᾶς ἄγαλμα ἀπὸ τῶν ἀναθέντων καλουμένης Λημνίας (cf. Michaelis Arx^{3} ad h. l.). Dedicant cleruchi. Fredrich IG XII 8 p. 3 ad a. 447.

